## 21 IANUARIE

# SLUJBA SF.MUCENIC EVGHENIE DE LA TRAPEZUNT



## MINEIUL PE IANUARIE-GR


СВ.
ЕВГЕНИЙ

# 21 Ἰανουαρίου
# ΑΚΟΛΟΥΘΙΑ ΜΑΡΤΥΡΟΣ ΕΥΓΕΝΙΟΥ ΤΟΥ ΕΝ ΤΡΑΠΕΖΟΥΝΤΙ

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν στιχηρὰ Προσόμοια τοῦ Ἁγίου. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῆς Τραπεζοῦντος τὸ κλέος δεῦτε τιμήσωμεν, ὡς Ἀθλητὴν γενναῖον, παρατάξεως θείας, ἔμπλεος γὰρ ζήλου θείου φανείς, ἀλγηδόνας ὑπήνεγκε, πρὸς οὐρανίους δὲ χαίρων ἤρθη μονάς, καὶ χοροῖς Ἁγίων ἥνωται.

Καρτερικῶς τοὺς ἀγώνας Μάρτυς ἐτέλεσας, θωρακισθεὶς δυνάμει, τοῦ Σταυροῦ τοῦ Τιμίου, ἔσβεσας εἰδώλων πάντῃ πυράν, τῷ ἰδίῳ σου αἵματι, ὅθεν συνόμιλος γέγονας Προφητῶν, καὶ Ἀγγέλων ὁμοδίαιτος.

Ἐπὶ τῆς γῆς ἠγωνίσθης πιστῶς Εὐγένιε, ἐν οὐρανοῖς δ' ἐδέχθης, ἀμαράντινον στέφος, ὅθεν καὶ ἡμεῖς τελοῦντες τὴν σὴν ἑορτὴν ἀγαλλόμεθα, λύσιν αἰτοῦντες πταισμάτων καὶ τῶν δεινῶν, σαῖς πρεσβείαις ἀξιάγαστε.

Πρὸς ἐφετῶν τὸ ἀκρότατον ἀπεδήμησας, ἀγωνισθεὶς ἀνδρείως, ἐν δυνάμει τῇ θείᾳ, πρόμαχος ὅθεν πιστῶν κραταιός, καὶ λιμὴν γαληνότατος, χειμαζομένων πελάγει τῷ τῶν δεινῶν, ἀναδέδειξαι Εὐγένιε.

*Δόξα. Ἦχος α΄.*

Τὸν τῆς Τριάδος ἔνζηλον καὶ καλλίνικον Μάρτυρα, δεῦτε πάντες ὑμνήσωμεν. Οὗτος γὰρ ἀνεδείχθη τῇ δυνάμει τῆς πίστεως τεῖχος ἄῤῥηκτον τῆς εὐσεβείας, ἄνθος τερπνὸν τοῦ νοητοῦ Παραδείσου, λιμὴν ποντουμένων καὶ στύλος τῆς Ἐκκλησίας. Πρεσβεύει δ᾽ ἀπαύστως σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Παρθένε Θεοτόκε, ταῖς φαειναῖς ἀκτῖσι τοῦ Υἱοῦ Σου, διάλυσον τὸν ζόφον τῆς ψυχῆς μου, καὶ παθῶν μου τὸν τάραχον κόπασον, τῇ πρὸς Θεὸν μεσιτείᾳ Σου ἄχραντε.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Δεῦτε οὖν οἱ πιστοί, αἰνέσωμεν προφρόνως, τὸν καθελόντα πλάνην, τυράννων τῶν ἀθέων, καὶ τοὺς πιστοὺς φαιδρύναντα.

Στ.: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ κατεθυνθήσεται.*

Ἴσχυσε τοὺς ἐχθρούς, Εὐγένιος ὁ Μάρτυς, καθοπλισθεὶς τῇ πίστει, καὶ χάριν ἰαμάτων, θεόθεν οὗτος εἴληφε.

Στ.: *Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Θράσους τῶν ἀσεβῶν, κατίσχυσας σὺ Μάρτυς, δι᾽ εὐκλεῶν σου ἄθλων, καὶ θείας χαρμοσύνης, ἀπέλαυσας ἀοίδιμε.

*Δόξα.*

Μνήμην σου τὴν σεπτήν, οἱ πίστει προσιόντες, ὑμνοῦσι κατὰ χρέος, οὓς ἐκ κινδύνων σῶζε, καὶ πάσης περιστάσεως.

*Καὶ νῦν. Θεοτοκίον.*

Λύτρωσον τῶν δεινῶν, Παρθένε Θεοτόκε, τὴν ταπεινὴν ψυχήν μου, ἔχουσα παῤῥησίαν, τῷ Σῷ Υἱῷ πανάχραντε.

*Νῦν ἀπολύεις. Τρισάγιον. Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Μάρτυς ἔνδοξε, καύχημα Πόντου, κλέος ἄφθαρτον, τῆς Τραπεζοῦντος, ἀνεδείχθης ἐν σταδίῳ τῆς πίστεως· ὡς οὖν εἰδώλων καθεῖλες σεβάσματα, καὶ μαρτυρίου διέπλευσας πέλαγος, οὕτως Ἅγιε Μεγαλομάρτυς Εὐγένιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακόν τό *Μακάριος ἀνήρ.* Εἰς τό *Κύριε ἐκέκραξα* ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν

στιχηρὰ προσόμοια. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις, ὁ ἐξ ἑώας φωστήρ, περιαυγάζων Ἐκκλησίας στερέωμα, φωτίζων ἐλλάμψει θείᾳ, τὰς διανοίας πιστῶν, καὶ ἰάσεις νέμων τοῖς προστρέχουσι· ἀχλὺν ἐξηφάνισας, τῶν εἰδώλων πανάριστε, καὶ συγχορεύεις τοῖς Ἁγίοις Εὐγένιε, ἀγαλλόμενος, εἰς παστάδα οὐράνιον· ὅθεν ἀνευφημοῦμέν σε, ὡς ἔνθεον Μάρτυρα, ἀγωνισθέντα νομίμως ἐν τῷ σταδίῳ τῆς πίστεως· Χριστὸν δυσωποῦντα, τοῦ δωρήσασθαι τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Χαίροις, ὁ στρατιώτης Χριστοῦ, τῆς Ἐκκλησίας τὸ τερπνὸν περιήχημα, ὁ πύργος τῆς εὐσεβείας, Χριστιανῶν βοηθός, καὶ προστάτης πάντων τῶν ἐν θλίψεσι· τὸν δρόμον τετέλεκας, τῆς ἀθλήσεως Ἅγιε, ξεσθεὶς τὴν σάρκα καὶ φθορὰν ἐκδυσάμενος, περιβόλαιον, ἀφθαρσίας ἐνδέδυσαι· ὅθεν σὲ μακαρίζομεν, παμμάκαρ Εὐγένιε, ὃς εὐσεβῶν ἐποπτεύεις τῇ θείᾳ χάριτι ἄνωθεν· Χριστῷ δὲ πρεσβεύεις, τοῦ δωρήσασθαι τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Χαίροις, τῆς Τραπεζοῦντος βλαστός, καύχημα Πόντου καὶ σεπτὸν ἐγκαλλώπισμα, πιστῶν τε παραμυθίᾳ, καὶ βοηθὸς κραταιός, Ἐκκλησίας πάσης τὸ ἀγλάϊσμα· ὡραῖος ἐν κάλλεσι, τῶν στιγμάτων σου γέγονας, καὶ ὡραΐζεις, τὰς ψυχὰς τῶν ὑμνούντων σε, τῇ τοῦ Πνεύματος, φωταυγείᾳ καὶ χάριτι· ὅθεν σὲ μακαρίζομεν, Εὐγένιε πάνσεπτε, καὶ ἐν λαμπρᾷ

πανηγύρει περιχαρῶς ἑορτάζομεν· Χριστὸν δυσωποῦντες, τοῦ δωρήσασθαι τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Χαίροις, τῶν Ἀθλητῶν ἀριστεῦς, ὃς ἐπινοίας τοῦ τυράννου ἐνίκησας, ῥοπάλοις τυφθεὶς τὴν σάρκα, καὶ ἐν σχοινίοις ταθείς, τὴν πλευρὰν κεντούμενος κατεξέεσο· πυρὶ κατεκαίεσο, καὶ δρυμεῖ ἐμβαλλόμενος, ὄξει σὺν ἅλμῃ, ἑκουσίως ὑπέμενες, πυρπολούμενος τῇ ἀγάπῃ τοῦ Κτίσαντος· ὅθεν στεφάνους εἴληφας, βραβεῖα ἀθλήσεως, καὶ ἐν αὐλαῖς τοῦ Κύριου θείῳ φωτὶ ἐπαγάλλεσαι· Αὐτὸν ἐκδυσώπει, τοῦ δωρήσασθαι τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Ῥάβδον, ἀναλαβὼν τοῦ Σταυροῦ, καὶ ἐν τῷ μέσῳ τῶν εἰδώλων γενόμενος, καὶ ἄρχοντος τοῦ ἀθέου, καὶ διωκτῶν ἐμμανῶν, ταῦτα πάντα μάκαρ κατηδάφισας· μανίας τὸ φρύαγμα, κατεπάτησας Ἅγιε, ποθῶν δὲ κρείττω, τὴν ψυχὴν κατελάμπρυνας, ἐνδυσάμενος, τὴν στολὴν τῶν στιγμάτων σου· ὅθεν ἀνευφημοῦμέν σε, Εὐγένιε πάνσεπτε, ὃς ἀφθαρσίας τὸ στέφος παρὰ Κυρίου ἀπείληφας· Χριστὸν ἐκδυσώπει, τοῦ δωρήσασθαι τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Χαίροις, τῶν συναθλούντων τετράς, τῆς Ἐκκλησίας τὰ μεγάλα προπύργια, Εὐγένιε καὶ Ἀκύλα, σὺν τῷ Κανδίδῃ ὁμοῦ, Οὐαλεριανέ τε ἀξιάγαστε· τὰ ἄνθη τὰ πνέοντα, εὐωδίαν ἀέναον, τῆς εὐσεβείας, τοῖς γεραίρουσι σήμερον, γενναιόφρονα, καὶ σεπτὴν ὑμῶν ἄθλησιν· ὅθεν λελαμπρυσμένοι οὖν, τῷ κάλλει ἀθλήσεως, ἐν τοῖς χοροῖς τῶν Ἁγίων ὑπὸ Χριστοῦ

συνηρίθμησθε· Αὐτὸν ἀνυμνοῦντες, τὸν παρέχοντα τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. β΄.*

Δεῦτε τῶν φιλεόρτων τὰ συστήματα εὐφημήσωμεν, μαρτυρικοῖς ἐγκωμίοις Εὐγένιον τὸν παμφαῆ, τῆς πίστεως ἀστέρα. Οὗτος γὰρ τῷ ζήλῳ τῆς εὐσεβείας πυρπολούμενος, καὶ πυρὶ θείῳ τῆς πίστεως πυρσευόμενος, γενναίως ἤθλησε. Λογισμῷ θεόφρονι τυράννων ἐπινοίας ἐνίκησε, καὶ ἤστραψε μαρμαρυγαῖς μαρτυρίου του, πρὸς τὴν ἄνω ζωὴν μεταθεὶς τὴν διάνοιαν ἐκληρώσατο, ἀθανάτου εὐκλείας καὶ ἀμαράντου δόξης ὑπὸ Χριστοῦ τοῦ Θεοῦ. Αὐτὸν ἱκέτευε Εὐγένιε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν.Θεοτοκίον.*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε,σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (Κεφ. 43, 9-14).*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν. Καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι,μκαὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. 3, 1-9).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας

προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας, οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*
*(Κεφ. 5, 15-23 & 6, 1-3).*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα,δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ

ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε, μάθετε, δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Εἰς τὴν Λιτήν. Ἰδιόμελα. Ἦχος α΄.*

Δεῦτε πάντες ἐν τῇ σεπτῇ πανηγύρει Εὐγενίου εὐωχηθῶμεν. Τῇ τῶν ᾀσμάτων τερπνότητι φαιδρύνωμεν τὰς ψυχὰς ἡμῶν, Δαυϊτικῶς δὲ ἀνυμνήσωμεν λέγοντες· χαίροις Μάρτυς, διάδημα τῆς πίστεως, τῶν εἰδώλων ὁ καθαιρέτης, ὁ τὸν χιτῶνα τῆς ἀσεβείας διαῤῥήξας, τοῦ Λυτρωτοῦ γενόμενος τῷ πάθει μιμητής. Αὐτὸν διὰ παντὸς ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ὁ αὐτός.*

Δεῦτε τοῦ Πόντου τὰ τέκνα, ἐν τῇ σεπτῇ ταύτῃ πανηγύρει, εὐωδίαν χάριτος λάβωμεν, πνευματικῶς πανηγυρίζοντες καὶ λέγοντες· χαίροις Εὐγένιε, Μαρτύρων τὸ κλέος, Τραπεζοῦντος τὸ καύχημα· ἠξιώθης γὰρ ἀθανάτου δόξης, καὶ γέγονας Ἀγγέλων συνόμιλος. Σκέπε οὖν, φρούρει καὶ φύλαττε τὰ ἁπανταχοῦ τῆς οἰκουμένης τέκνα σου, πρεσβεύων ἄληκτα ὑπὲρ τούτων καὶ τῆς τοῦ κόσμου εἰρήνης.

*Ἦχος β΄.*

Σήμερον, τὴν ἱερὰν τῆς ἀθλήσεως μνήμην τοῦ Εὐγενίου ἐπιτελοῦσα, ἡ Ἐκκλησία ἄγει χαρμόσυνον καὶ φωτοφόρον ἑορτήν. Οὗτος γὰρ τὰς διανοίας πάντων καταυγάζει χάριτι τοῦ Παναγίου Πνεύματος· ἰάματα δὲ παρέχει ἀφθόνως τοῖς προστρέχουσι ἐκ πόθου, καὶ ὡς φωστὴρ διαυγέστατος τῷ πυρσῷ τῆς πίστεως καταλάμπει ἅπασαν τὴν οἰκουμένην· ὅθεν Ἅγιε σαῖς φωτοβόλοις πρεσβείαις, θεογνωσίας ὁδῷ ὁδήγησον τὸν κόσμον.

*Δόξα. Ἦχος πλ. α΄.*

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, καὶ μετ' ἀλλήλων χορεύσωμεν ἐπὶ τῇ μνήμῃ Εὐγενίου τοῦ Μάρτυρος, καὶ ταύτην καταστέψωμεν ἄνθεσιν ἐγκωμίων, ἀγαλλόμενοι καὶ λέγοντες· χαῖρε, πρόμαχε τῆς ἀληθείας πιστότατε, καὶ τῆς Ἐκκλησίας μέγα προπύργιον· χαῖρε, στύλε τῆς εὐσεβείας, καὶ ἰατρὲ νοσημάτων ψυχῆς τε καὶ σώματος. Σὺ τὴν φλογώδη εἰδωλικὴν μανίαν σβέσας τῷ σῷ αἵματι, οὐρανοβάμων γέγονας καὶ Ἁγίων ὁμόσκηνος. Πρέσβευε οὖν Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον,τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Τῷ Δεσπότῃ παρέστηκας, Ἀθλοφόρε Εὐγένιε, πορφυρῷ ἐνδύματι τῶν στιγμάτων σου, ὡς ἱερώτατον δῶρόν τε, θυσία εὐπρόσδεκτος, εὐωδία καθαρά, ἱερεῖόν τε ἄμωμον· ὅθεν πρέσβευε, φωτισμῷ νῦν τῷ θείῳ αὐγασθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Στ.: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Λαμπρυνθεὶς ἐν τοῖς στίγμασι, Ἀθλοφόρε Εὐγένιε, καὶ ὡραῖος κάλλεσι τῆς ἀθλήσεως, στεφανηφόρος παρίστασαι, Θεῷ Παντοκράτορι, ἀγαλλόμενος ἀεί, σὺν Προφήταις καὶ Μάρτυσι· ὅθεν Ἅγιε, σὲ τιμῶμεν ἐκ πόθου ὡς προστάτην, καὶ ὡς ῥύστην ἐκ κινδύνων, καὶ ἰατρὸν τῶν ψυχῶν ἡμῶν.

Στ.: *Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Τραπεζοῦντος τὸ καύχημα ἀνεδείχθης Εὐγένιε, καὶ τοῦ Πόντου ἄφθιτον ἐγκαλλώπισμα, ὅτι δεινῶς καθυπέταξας, ἐχθροῦ τὴν ἐπίνοιαν, καὶ εἰδώλων ἐν ναῷ, τὰ ἰνδάλματα ἔῤῥιψας· ὅθεν Ἅγιε, οὐρανίου εὐκλείας ἐκληρώσω, καὶ Ἀγγέλοις συνευφραίνει, θείῳ φωτὶ ἀγαλλόμενος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τὸν γενναῖον Ἀθλητὴν Εὐγένιον, τιμήσωμεν τὸν ἀοίδιμον. Οὗτος γὰρ τῷ ὅπλῳ τοῦ Σταυροῦ, τὰς προσβολὰς τοῦ ἐχθροῦ πάσας κατέβαλε, καὶ τῇ δρόσῳ τοῦ Πνεύματος, τὸ πῦρ τῆς καμίνου κατεφρόνησε· διὸ

παρὰ Χριστοῦ ᾔρατο στέφος. Τοίνυν Ἅγιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον. Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Μάρτυς ἔνδοξε, καύχημα Πόντου, κλέος ἄφθαρτον, τῆς Τραπεζοῦντος, ἀνεδείχθης ἐν σταδίῳ τῆς πίστεως· ὡς οὖν εἰδώλων καθεῖλες σεβάσματα, καὶ μαρτυρίου διέπλευσας πέλαγος, οὕτως Ἅγιε Μεγαλομάρτυς Εὐγένιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

# ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἡ μνήμη σου ἔνδοξε ἐπισυνάγει ὑμᾶς, τοὺς θείους ἀγῶνάς σου ὑμνολογοῦντες πιστῶς, καὶ σὲ ἱκετεύομεν, πρέσβευε τῷ Κυρίῳ, ἵνα πάντες ῥυσθῶμεν, χάριν τε καὶ εἰρήνην, δωρηθῆναι τῷ κόσμῳ, πιστοῖς τε αἰωνίων δώρων ἀπόλαυσιν.

*Δόξα.*

Ὑπῆλθες Εὐγένιε πλῆθος βασάνων λαμπρῶς, τυράννων κατέβαλες τὴν ἐπηρμένην ὀφρύν, ἐνθέοις ἀγῶσί σου· εἴληφας ὅθεν χάριν, ἰαμάτων σὺ Μάρτυς, ἄνω τε τοῖς Ἁγίοις, συναγάλλει χορεύων· διὸ σαῖς ἱκεσίαις πάντας διάσωσον..

*Καὶ νῦν. Θεοτοκίον.*

Παρθένε Πανάμωμε ὤφθης δοχεῖον φωτός, διὸ εὐφημοῦμέν Σε τὴν προστασίαν ἡμῶν, καὶ Σὲ ἱκετεύομεν, δίωξον τοὺς κινδύνους, τοὺς ἡμᾶς ἀπειλοῦντας, φρούρησον δὲ τῷ τείχει, πρεσβειῶν τῷ ἀσείστῳ, τοὺς Σὲ ἀνυμνοῦντας πόθῳ πανένδοξε.

*Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Βασάνων τὴν πληθύν, ὑπομείνας σὺ Μάρτυς, τῷ ὅπλῳ δὲ Σταυροῦ, ἐναθλήσας γενναίως, ἐνίκησας ἀσέβειαν καὶ ἀθέων φρονήματα· ὅθεν Ἅγιε, σαῖς φωτοβόλοις πρεσβείαις, διασκέδασον, τὰ τῶν παθῶν ἡμῶν σκότη, εἰρήνην δωρούμενος.

*Δόξα.*

Ὑπήνεγκας σαρκός, τὰς βασάνους παμμάκαρ, τυράννων δὲ σφοδρῶς, κατεπάτησας θράση, καὶ εἴδωλα κατέῤῥιψας, ταῖς εὐχαῖς σου Εὐγένιε· ὅθεν ἔλαβες, ὡς ἀμοιβὴν τῶν ἀγώνων, τῶν ἰάσεων, καὶ τῶν θαυμάτων τὴν χάριν, ἣν δὸς τοῖς ὑμνοῦσί σε.

*Καὶ νῦν. Θεοτοκίον.*

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. Σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σῴζεις τοὺς δούλους σου.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Ἔργοις ἔλαμψας, θείων ἀγώνων, πλάνην ἔσβεσας, τὴν τῶν εἰδώλων, καὶ ψυχὰς τῶν πιστῶν κατεφαίδρυνας· αὐλισθεὶς δὲ εἰς παστάδα οὐράνιον, θείῳ φωτὶ καταυγάζει ἀοίδιμε· ὅθεν Ἅγιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὕμνοις στέψωμεν, τὴν Θεοτόκον, Αὕτη τέτοκεν, γὰρ τὸν Σωτῆρα, καὶ Αὐτὸν ἐν ταῖς ἀγκάλαις ἐβάστασεν, τῷ ἑαυτῆς ἅμα γάλακτι ἔθρεψεν,τὸν Ποιητὴν καὶ τροφέα τῆς Κτίσεως, Τοῦτον Δέσποινα ἀεὶ μητρικῶς ἱκέτευε,δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Οἱ Ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Εὐαγγέλιον Μαρτυρικόν (ζῆτει ἐν τῇ μνήμῃ τοῦ ἁγ. Μεγαλομ. Δημητρίου).

Ὁ Ν΄ Ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Σήμερον, πάντες οἱ πιστοί, τὸν ὡραϊσμένον ἐν κάλλεσι, τῆς καλλοποιοῦ ἀθλήσεως εὐφημήσωμεν. Οὗτος ὡς λαμπρὸς ἀστὴρ ἀνέτειλεν ἐν τῷ τῆς Ἐκκλησίας στερεώματι, καὶ θείοις ἀγῶσι ἀφθαρσίαν προσεκτήσατο. Καὶ νῦν αὐλίζει Μάρτυς, τοῖς ἄνω γηθόμενος ἐν ταῖς χορείαις τῶν Ἁγίων, μεθ' ὧν πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *Εὐγένιον Μάρτυρα ὑμνήσωμεν.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Ἐξήρανας ῥεῦμα εἰδωλικῆς, ἀπειλῆς τυράννων εὐτολμίᾳ μαρτυρικῇ, καὶ πρὸς οὐρανὸν βοῶν διέβης, ὁ Λυτρωτὴς καὶ Θεός μου εἶ Κύριε.

Ὑφάνας ἱμάτιον πορφυροῦν, σῷ αἵματι μάκαρ ἐν σταδίῳ τῶν ἀρετῶν, μετὰ τῶν συνάθλων σου εἰσῆλθες, εἰς τὰ οὐράνια δώματα Ἅγιε.

Γενναίῳ φρονήματι Ἀθλητά, πάσας ἐπινοίας ἀπεκρούσω τῶν διωκτῶν, καὶ νίκης τὸ στέφος ἐπαξίως, ἐκ ζωηφόρου παλάμης ἀπείληφας.

*Θεοτοκίον.*

Ἁγνὴ Θεομῆτορ τὸν ἐναγῆ, μὴ μὲ ἀπολέσῃς, ἀλλὰ ῥῦσαί με τῶν παθῶν, Σὺ δὲ ὁδήγησόν με Θεοτόκε, πρὸς τὴν ὁδὸν τοῦ Υἱοῦ Σου Πανάχραντε.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἑκουσίως παμμάκαρ πολυειδῶς ἤθλησας, καὶ τῆς αἰωνίου τρυφῆς συμμέτοχος γέγονας, ὅθεν ἀγάλλει σοφὲ στεφανηφόρος κραυγάζων· Σὺ ἰσχύς μου Κύριε καὶ ἀγαλλίαμα.

Νικητὴς ἐν πίστει καὶ ἀριστεὺς γέγονας, καὶ πλάνην ἀθέων τυράννων πάντῃ ἀνέτρεψας, μετὰ τῶν συνάθλων τῶν σῶν δοξολογῶν καὶ κραυγάζων· τοὺς πιστοὺς στερέωσον μόνε Φιλάνθρωπε.

Ἱερὰ τῶν εἰδώλων σαῖς προσευχαῖς ἔῤῥιψας, καὶ τὰς ἐπινοίας τυράννων πάσας ἐνίκησας, ἐν τῇ ἀγάπῃ Χριστοῦ στερεωθεὶς σὺ παμμάκαρ, ὅθεν στέφος ἄφθαρτον ἄνωθεν εἴληφας.

*Θεοτοκίον.*

Τὴν ἀθλίαν ψυχήν μου τῶν συμφορῶν λύτρωσον, καὶ ἐκ τοῦ βυθοῦ τῶν πταισμάτων σὺ μὲ ἀνάγαγε, τὸν δὲ τεχθέντα ἐκ Σοῦ ἀδιαλείπτως δυσώπει, ἵνα τὴν εἰρήνην τῷ κόσμῳ δωρήσηται.

*Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Τὸν ἀριστέα τῶν ἐνθέων ἀγώνων, ἀνευφημήσωμεν πιστοὶ νῦν ἐκ πόθου, οὗτος τὸ στέφος εἴληφε χειρὶ τοῦ Θεοῦ, ἔμπλεως δὲ γέγονεν ἀντιδόσεων θείων, καὶ ῥεῖθρα τῶν ἰάσεων ἀπονέμει πλουσίως, ὁ γὰρ Χριστὸς ἐδόξασεν αὐτόν, ὃν ἐν τοῖς ἔργοις ὁ Μάρτυς ὁμολόγησεν.

*Δόξα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Ἀληθείας πρόμαχος, καὶ εὐσεβείας, ἀνεδείχθης Ἅγιε,τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, καὶ Αὐτῷ νῦν παρίστασαι, ὅθεν σὲ πάντες τιμῶμεν Εὐγένιε.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὡς λιμένα ἅπαντες, τεῖχος καὶ σκέπην, καὶ πρόστατιν ἔχομεν Σὲ Θεοτόκε οἱ πιστοί, μὴ διαλείπῃς πρεσβεύουσα, Μῆτερ Κυρίῳ σωθῆναι τοὺς δούλους Σου.

*ᾨδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.*

Ὄντως πιστῶν γέγονας μάκαρ τὸ καύχημα, τῷ ἱστίῳ τῆς πίστεως ἔπλευσας, τὸ ζοφερὸν πέλαγος δεινῶν, πτέρυξι δὲ ἄθλων ἀνέπτης σῶν παναοίδιμε, διὸ ὡς ὁ Προφητὴς Ἀββακοὺμ σὺ κραυγάζεις· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Νῦν οἱ πιστοὶ στέψωμεν ὕμνοις Εὐγένιον, εἰληφότα στέφος τὸ ἀμάραντον, παρὰ Χριστοῦ πίστει τῇ στεῤῥᾷ, καὶ μετὰ Ἀγγέλων ἐνθέως ἐπαγαλλόμενον, αὐτοῦ ταῖς ἱκεσίαις τὰς εὐχὰς ἡμῶν ῥῦσαι, τοῦ συγχύσεως πάθους Φιλάνθρωπε.

Μάρτυς Χριστοῦ ἔνδοξε ἤμβλυνας δύναμιν, τῶν τυράννων καὶ τὴν τοῦ Ὑψίστου δέ, τῇ προσευχῇ ἅμα ἐνδυθείς, ἀνεδείχθης ὄντως ἀγῶσι θείοις ἀήττητος, διὸ σὺν τῷ Προφήτῃ Ἀββακοὺμ σὺ κραυγάζεις· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

*Θεοτοκίον.*

Χαῖρε σεμνὴ Δέσποινα, χαῖρε Παράδεισε, χαῖρε κλῖμαξ προεικονισθεῖσα, ἐν τῇ Ἰακὼβ πάλαι μυστικῶς, φώτισον τὸ ὄμμα ψυχῆς μου Θεογεννήτρια, μὴ σκότος ἁμαρτίας λοιμικὸν καταλάβῃ, τῶν πιστῶν προστασία Θεόνυμφε.

*ᾨδὴ ε΄. Ἵνα τί μὲ ἀπώσω.*

Ἀγαλλόμενος Μάρτυς, τῶν βασάνων ἤνεγκας δεινὰ δυσβάστακτα, τὸ τῆς ἀσεβείας διαλύσας σὺ ψεῦδος πανάριστε, καὶ πεφοινιγμένος αἵματι σῷ τοῦ μαρτυρίου, πρὸς οὐράνια δώματα ἔδραμες.

Ῥώμην θείᾳ δυνάμει, ἐνδυθεὶς Εὐγένιε, ἐχθροῦ κατίσχυσας, καὶ τῆς Βασιλείας ἐθησαύρισας πλοῦτον τὸ ἄφθιτον· ὅθεν οὖν πρεσβεύεις ἀεὶ Θεῷ τὸ ἐν Τριάδι, δωρηθῆναι πιστοῖς μέγα ἔλεος.

Τῶν βασάνων τὰ νέφη, Ἅγιε ἀνδρείαν τὴν σὴν οὐκ ἐκάλυψαν, φωτὶ ἀηττήτῳ εὐσεβείας ταχὺ διελύθησαν, τούτῳ τὴν ψυχήν μου νῦν φωταγώγησον καὶ ζόφου, τῶν δαιμόνων με ἆρον Εὐγένιε.

*Θεοτοκίον.*

Σὺ Πανάμωμε ὤφθης, Λόγου οἰκητήριον πιστῶν δὲ καύχημα, Κεχαριτωμένη τὰς εὐθείας ὁδούς μοι

ὑπόδειξον, ἵνα Σοὶ κραυγάζω· εὐλογημένος Σου ὁ Τόκος, Ὃς ἡμᾶς τῆς ἀρᾶς ἐλυτρώσατο.

*ᾨδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Ὑπὸ τὴν σκέπην Θεοῦ, ἀθλῶν ὁ Μάρτυς κατέσβεσε, πολυθεΐας πυράν, τοῖς ῥείθροις τοῦ αἵματος, κοιλίας καμίνου δέ, πάνυ κεκαυμένης, ὁ Θεὸς τοῦτον ἐξήγαγε.

Ῥωσθεὶς φρεσὶ ἐν Χριστῷ, ἐπίνοιαν πᾶσαν ἤνεγκας, τῶν διωκτῶν κραταιῶς καὶ τούτους καταβαλών, σὺν Μάρτυσι γέγονας· ὅθεν Ἀθλοφόρε σαῖς εὐχαῖς πιστοὺς περίσωζε.

Ἀξίως οὖν οἱ πιστοί, τὰ θεῖά σου κατορθώματα, καὶ τὴν πληθὺν τῶν παθῶν, τιμῶσιν Εὐγένιε· αὐτοὺς οὖν περίσωζε, φρούρει δὲ ἐκ πάσης κακουργίας τοῦ ἀλάστορος.

*Θεοτοκίον.*

Παρθένε Μῆτερ ἁγνή, ἀγκάλαις ταῖς Σαῖς ἐβάστασας,μετὰ σαρκὸς τὸν Θεόν, Αὐτὸν οὖν δυσώπει νῦν, ὑπὲρ τῶν ὑμνούντων Σε, ἵνα τῶν κινδύνων καὶ τῶν θλίψεων λυτρώσῃ με.

*Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Ὁ πόθος Χριστοῦ, ὑπὲρ πᾶσαν σοὶ ἔφεσιν, ψυχήν σου οἰκῶν, τὸν νοῦν σου κατεπύρσευσεν, δι᾽ αὐτοῦ καὶ Πνεύματος φλογί, πόνους ἔφλεξας Ἅγιε, καὶ αὐλαῖς οἰκήσας Θεοῦ, πρεσβεύεις ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

*Ὁ Οἶκος.*

Τῇ ζέσει τῆς Χριστοῦ πίστεως κρατυνόμενος, καὶ ἀκτῖσι τοῦ Ἁγίου Πνεύματος τὸν νοῦν αὐγαζόμενος, ἠγωνίσθης Μάρτυς κραταιῶς καὶ ἐνίκησας, εἰδώλων τὰ θράση καὶ τυράννων ἐπινοίας, ἐφάνης δὲ ἐν ταῖς χορείαις τῶν Μαρτύρων στεφανίτης. Νῦν παριστάμενος μετὰ Ἀγγέλων, τῷ θρόνῳ τοῦ Θεοῦ καὶ τῷ θείῳ φωτὶ ἐλλαμπόμενος, πρεσβεύεις ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

*Συναξάριον.*

Τῇ ΚΑ΄ τοῦ αὐτοῦ μηνός, ἄθλησις τῶν Ἁγίων Μαρτύρων Εὐγενίου, Οὐαλλεριανοῦ, Κανδίδου, καὶ Ἀκύλα.

*Κἂν Εὐγένιος ἀπέπτη τοῖς ἄνω,*
*τοῖς ἐν γῇ βλύζει χάριν θαυμάτων.*
*Τὸν Εὐγένιον, καὶ συνάθλους τρεῖς ἅμα,*
*δι᾽ εὐγένειαν ψυχικὴν κτείνει ξίφος.*

*Ταῖς τῶν Σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὑπὸ τὴν θείαν σκέπην δροσίζοντο Παῖδες ἐν τῇ καμίνῳ ποτέ, καὶ ταύτῃ νῦν ὁ Μάρτυς, κατίσχυσε τυράννων, ἐν χαρᾷ δὲ ἀνέκραζεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Μεγάλως ἠγωνίσθης καὶ προσβλέπων ὕψωσας τοῖς νοεροῖς ὀφθαλμοῖς, ἐβλάστασας γενναίως, σαρκὸς τὰς

ἀλγηδόνας, ἐν χαρᾷ δὲ ἀνέκραζες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Νομίμως ἐναθλήσας καὶ νικήσας τυράννων τὴν ἐπηρμένην ὀφρύν, ἐνέργειαν θαυμάτων, ὡς ἔπαθλα λαμβάνεις, εὐφραινόμενος μέλπεις δέ· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Παρθένε Θεοτόκε ἐκ παντοίων κινδύνων καὶ πειρασμῶν ψυχικῶν, δυσώπει τὸν Υἱόν Σου, ἵνα πάντες ῥυσθῶμεν, Σὲ ὑμνοῦντες κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἡγιασμένος, ἐν οὐρανῷ σὺ ὑπάρχεις, τοῖς Ἁγίοις ἀεὶ συμπροσφέρων, αἶνον τῷ Κυρίῳ, εἰς πάντας τοὺς αἰῶνας.

Σὺ ἀνεδήσω, τῆς ἀφθαρσίας τὸ στέφος, καὶ ἐνθέως ἀγάλλει προσφέρων, αἶνον τῷ Κυρίῳ, εἰς πάντας τοὺς αἰῶνας.

Ὡραϊσμένος, ταῖς ἀρεταῖς μαρτυρίου, ἐν αὐλαῖς τοῦ Κυρίου κραυγάζεις· τὸν Κύριον ὑμνεῖτε, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Σὲ Θεοτόκε, καθικετεύομεν πάντες, καὶ Χριστὸν ἀνυμνοῦντες βοῶμεν· τὸν Κύριον ὑμνεῖτε, εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Μαρτύρων καὶ Ἀγγέλων, γέγονας χορείαις, δοξολογῶν μετὰ τούτων τὸν πάντων Θεόν, καταυγαζόμενος ἅμα θείαις ἐλλάμψεσι.

Εὐγένιε παμμάκαρ, κλέος τῶν Μαρτύρων, πανευλαβῶς θεραπεύσας τοῖς ἔργοις Θεόν, κατηγλαΐσθης Κυρίῳ θείαις χαρίσμασι.

Νευρώσας τὴν ψυχήν σου, Πνεύματος δυνάμει, χαίρων ἐχώρησας Μάρτυς πρὸς ἄσπετον πῦρ, ἔνθα τοῦ Πνεύματος δρόσος σὲ διεφύλαξεν.

*Θεοτοκίον.*

Χορὸς τῶν Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, σὺν Ἀσωμάτοις χορείαις Παρθένε ἁγνή, ἀνευφημοῦσιν ἀπαύστως Τόκον τὸν θεῖόν Σου.

*Ἐξαποστειλάριον. Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Τοῦ Εὐγενίου σήμερον ἡ μνήμη ἡ ἁγία, ὑπέρλαμπρος ἀνέτειλε πάσῃ τῇ οἰκουμένῃ, πιστῶν καρδίας αὐγάζει, ζόφον ἀποδιώκει, καὶ ῥεῖθρα τῶν ἰάσεων ψυχικῶν νόσων ἅμα σωματικαῖς, προσιοῦσι νέμει πλουσίως, πρεσβεύει δὲ πρὸς Κύριον, ἵνα πάντες ῥυσθῶμεν.

*Ἕτερον.*

Τὸ Τραπεζοῦντος βλάστημα καὶ καύχημα του Πόντου, φωστῆρα παμφαέστατον Πνεύματος τὸ δοχεῖον, ψυχὰς ἀρδεῦον πλουσίως οἱ πίστει νῦν προσελθόντες, τιμήσωμεν γηθόμενοι πρὸς αὐτὸν

βοῶντες· ῥῦσαι ἡμᾶς, τῶν δεινῶν καὶ πάσης ἀκαθαρσίας, καὶ πρέσβευε πρὸς Κύριον, ὑπὲρ τῶν σὲ τιμώντων.

*Αἶνοι. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.*

Εὐγένιε Μάρτυς τοῦ Χριστοῦ, κραταιῶς ἐνήθλησας, τὸν ἐλαφρὸν δὲ τῆς θλίψεως, αἰώνιον ἐν σοί, ἀπειργάσθη δόξαν καὶ τρυφὴν τὴν ἄῤῥητον, καὶ θείων δωρεῶν τὴν ἀντίδοσιν· Χριστῷ οὖν πρέσβευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Εὐγένιον Μάρτυρα Χριστοῦ, θεοφθόγγοις ᾄσμασι, οἱ ἐξ ἑώας ὑμνήσωμεν, φαιδρύνοντες ψυχάς, ἐκοσμήθη οὗτος καλλοναῖς τῶν ἄθλων του, καὶ θρόνῳ τοῦ Θεοῦ νῦν παρίσταται, πρεσβεύων ἄληκτα, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Εὐγένιε Μάρτυς τοῦ Χριστοῦ, ὑψιβάμων γέγονας,ὑπεριδὼν τὸ ἐφήμερον, ἐφέσει κρείττονος, καὶ θαυμάτων χάριν ἠξιώθης Ἅγιε, πλουσίως χορηγῶν τοῖς τιμῶσί σε, Χριστῷ οὖν πρέσβευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Εὐγένιον πάντες οἱ πιστοί, συνελθόντες σήμερον, ἀνευφημήσωμεν ᾄσμασι, ὡς κρήνη γὰρ ἀεί, ἰαμάτων χάριν οὗτος βλύζει ἄνωθεν, καὶ νέμει δαψιλῶς τοῖς προστρέχουσι, Χριστῷ πρεσβεύει δέ, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, ἐξέλαμψεν ἡμῖν ἡ μνήμη τοῦ Ἀθλοφόρου Εὐγενίου. Δεῦτε οὖν ᾀσματικὴν χορείαν κροτήσωμεν, καὶ τοῦτον καταστέψωμεν, μαρτυρικοῖς ᾄσμασι. Τῷ ἱστίῳ γὰρ τῆς πίστεως, σὺν τῇ τοῦ Ἁγίου Πνεύματος αὔρᾳ, διέπλευσε τὸ ζοφερὸν πέλαγος τοῦ μαρτυρίου. Κλίμακα δὲ ταῖς ἀρεταῖς τῆς ἀθλήσεως, χρησάμενος ἀνῆλθεν εἰς οὐράνια δώματα, ἀνακραθεὶς τῷ ἀκροτάτῳ φωτί· ὅθεν μαρμαρυγὰς θείου φωτὸς ἐκπέμπει καταυγάζων πιστῶν τὴν διάνοιαν, καὶ ἀχλὺν δαιμόνων ἐκδιώκων. Οὕτως γεραίροντες τὴν αὐτοῦ μνήμην, δοξάζομεν Χριστὸν τὸν Θεὸν, τὸν ἐνεργοῦντα δι’ αὐτοῦ πᾶσιν ἰάματα.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὁ ποιητὴς καὶ λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρῴην κατάρας, τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ Χαῖρε τοῦ Ἀγγέλου. Χαῖρε Δέσποινα,προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία Μεγάλη καί Ἀπόλυσις.*

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ ᾠδή.

Κοινωνικόν: *Εἰς μνημόσυνον αἰώνιόν ἔσται δίκαιος. Ἀλληλούϊα.*

*Μεγαλυνάριον.*

Χαίροις Τραπεζοῦντος θεῖος βλαστός, καύχημα τοῦ Πόντου, ἐγκαλλώπισμα τῶν πιστῶν, χαίροις ὁ πηγάζων, ἰάσεων τὰ ῥεῖθρα, Εὐγένιε παμμάκαρ τοῖς εὐφημοῦσί σε.

